Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vmw-ae

*Καλλιμάχου Σχόλια* · Callimachus Scholia

# Narratives-Iambos Ancient Scholia

*Διηγήσεις εἰς Ἴαμβον Ἀρχαῖα Σχόλια*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

191 col5 Ἀκούσαθ’ Ἱππώνακτος· οὐ γὰρ ἀλλ’ ἥκω Ὑποτίθεται φθιτὸν Ἱππώνακτα συγκαλοῦντα τοὺς φιλολόγους εἰς τὸ Παρμενίωνος καλούμενον Σαραπίδειον· ἥκουσι δ’ αὐτοῖς κατ’ εἴλας ἀπαγορεύει φθονεῖν ἀλλήλοις, λέγων ὡς Βαθυκλῆς Ἀρκὰς τελευτῶν τήν τε ἄλλην οὐσίαν διέθετο καὶ δὴ χρυσοῦν ἔκπωμα τῷ μέσῳ τῶν υἱῶν Ἀμφάλκῃ ἐνεχείρισεν, ὅπως δῷ τῷ ἀρίστῳ τῶν ἑπτὰ σοφῶν. ὁ δὲ ἐλθὼν εἰς Μίλητον ἐδίδου τοῦτο Θάλητι ὡς διαφέρ[ο]ντι τῶν ἄλλων, ὁ δὲ ἀπέπεμψε πρὸς Βίαντα τὸν Πριηνέα, ὁ δὲ πρὸς Περίανδρον τὸν Κορίνθιον, ὁ δὲ ὡς Σόλωνα τὸν Ἀθηναῖον, ὁ [δ]ὲ πρὸ[ς] [Χίλωνα τὸν] Λ[α]κεδαι[μό]νιον, ὁ δὲ πρὸς Π[ιτ]τακὸν τὸν Μιτυλη[ναῖον, ὁδ]ὲ πρὸς [Κ]λεύ[βο]υλ[ο]ν τὸν Λί[ν-] δι[ο]ν . [τὸ δὲ ἔκπωμα] ὑπὸ τούτου [π]εμφθὲν [ἦλ-] [θε πάλιν εἰς Θάλητα· ὁ] δὲ ἀνατίθη[σι] τῷ [Δ]ιδυμ[εῖ] [Ἀ]πόλ[λωνι δὶς λαβ]ὼν ἀριστε[ῖο]ν. τοιγαρ[οῦν] ἔφη . [ .......... ]αιο . [ ....... ] ἀλλήλων κρ . τ[ ......... ]ιοιστ[ ..... ἐ]ρίζεσθε. Ἦν κε ῖν ος ο ὑ νιαυτός, ᾧ τό τε πτ ηνόν Τἆλλ[α] ζῷα ὡμοφώνει ἀν[θ]ρώποις, μέχρι κατὰ λύσιν γήρως ἐπ[ρέ]σβευσεν ὁ κύκνος πρὸς τοὺς θεοὺς καὶ ἀλώπηξ τὸν Δία ἐτόλμησεν μὴ δικαίως ἄρχειν φάναι.

192 col6 (22) ἔκτοτε δὲ εἰς ἀνθρώπους μετήνεγκεν αὐτῶν τὴν φωνήν, καὶ λάλοι ἐγένοντο· Εὔδημος δέ, φησίν, τὴν κυνὸς ἔσχε, Φίλτων δὲ ὄνου, παρεπικόπτων τούτους, ἴσως δὲ καὶ Σαρδιανὸν εἶπε τὸν Αἴσωπον. Εἴθ’ ἦν, ἄναξ ὤπολλον, ἡνίκ’ οὐκ ἦα Καταμέμφεται τὸν καιρὸν ὡς πλούτου μᾶλλον ἢ ἀρετῆς ὄντα, τὸν δὲ πρὸ αὐτοῦ ἀποδέχεται ὃς τῆς ἐναντίας ἦν τούτων γνώμης· παρεπικόπτει δὲ καὶ Εὐθύδημόν τινα, ὡς κεχρημένον τῇ ὥρᾳ πορισμῷ, ὑπὸ τῆς μητρὸς πλουσίῳ συσταθέντα.

194 col7 Εἷς—οὐ γάρ; —ἡμέων παῖ Χαριτάδεω καὶ σύ Διεφέρετο ὁ ποιητὴς πρός τινα τῶν ἐφαμίλλων· Σῖμος δέ τις παρατυχὼν παρυπέκρουεν ἄμφω παρενδεικνύμενος ἴσος εἶναι. Θρᾷκα δέ φησιν αὐτὸν καθεστάναι 〈—〉 παιδοκλέπτης ἐστί. καὶ γὰρ τὸν αἶνον παρατίθεται ἀκόλουθον, ὡς ἐν Τμώλῳ 〈δάφνη καὶ〉 ἐλαία διεφέροντο ὑπὲρ πρωτείων (παρεπεφύκεσαν δ’ ἀλλήλαις), διεξῄεσαν δὲ τὰ προσόντα ἑαυταῖς χρήσιμα. ἐπὶ πλεῖον δὲ διαφερομένων ὑποτυχοῦσα βάτος παλαιά· ‘πέπαυθε πρὶν εἰ μὴ ἐ[π]ίχαρτοι 〈τοῖ〉 ς δυσ[μ]ενέσι γενώμεθα‘ (π[αρ]επεφύκ[ει δ’ αὐ]ταῖς). [πρ]ὸς ἣν ἀποβλέψασα [ ........ ] ἡ δά[φν]η ‘ὦ κακὴ λώβη‘, φη[σίν], ‘ ὡς δὴ μ ἱ‘ ἡ μέ ων καὶ σ ύ; ... ] σεικο[ ...... ]συε [ .. ]ινητ[ ... ]ατωδρα[ ...... ]εισεις Ὦ ξεῖνε—συμβουλὴ γ[ὰ]ρ ἔν τι τῶν ἱρῶν— Γραμματο[δ]ιδάσκαλ[ο]ν, ὄνομα Ἀπολλώνιον, οἱ δὲ Κλέωνά τινα, ἰαμβίζει ὡς τοὺς ἰδίους μαθητὰς καταισχύνοντα, ἐν ἤθει εὐνοίας ἀπαγ[ο]ρεύων τούτῳ δρᾶν, μὴ ἁλῷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

196 col7 (25) Ἀλεῖος ὁ Ζεύς, ἁ τέχνα δὲ Φειδία Γνωρίμῳ αὐτοῦ ἀποπλέοντι κατὰ θέαν τοῦ Ὀλυμπίου Διὸς εἰς Ἦλιν διηγεῖται μῆκος ὕψος πλάτος βάσεως θρόνου ὑποποδίου αὐτοῦ τοῦ θεοῦ καὶ ὅση ἡ δαπάνη, δημιουργὸν δὲ Φειδίαν Χαρμίδου Ἀθηναῖον. Ἑρμᾶς ὁ Περφεραῖος Αἰνίων θεός Περφεραῖος Ἑρμῆς ἐν Αἴνῳ τῇ πόλει τῆς Θρᾴκης τιμᾶται ἐντεῦθεν· Ἐπειὸς πρὸ τοῦ δουρείου ἵππου ἐδημιούργησεν Ἑρμᾶν, ὃν ὁ Σκάμανδρος πολὺς ἐνεχθεὶς κατέσυρεν· ὁ δ᾽ ἐντεῦθεν προσηνέχθη εἰς τὴν πρὸς Αἴνῳ θάλασσαν, ἀφ᾽ ἧς ἁλιευόμενοί τινες ἀνείλκυσαν αὐτὸν τῇ σαγήνῃ.

197 col8 ὅτε ἐθεάσαντο αὐτόν, καταμεμψάμενοι τὸν βόλον πρὸς ἀλέαν σχίζειν τε αὐτὸν καὶ παρακαίειν αὐτοῖς ἐπεχείρουν, οὐδὲν δὲ ἧττον (?) ἔφθασαν ἢ τὸν ὦμον παίσαντες τραύματος τύπον ἐργάσασθαι, διαμπερὲς δὲ ἠσθένησαν· καὶ ὅλον αὐτὸν καίειν ἐπεχείρουν, τὸ δὲ πῦρ αὐτῷ περιέρρει· ἀπειπόντες κατέρριψαν αὐτὸν εἰς τὴν θάλασσαν. ἐπεὶ δὲ αὖτις ἐδικτυούλκησαν, θεὸν νομίσαντες εἶναι ἢ θεῷ προσήκοντα καθιδρύσαντο ἐπὶ τοῦ αἰγιαλοῦ ἱερὸν αὐτοῦ, ἀπήρξαντό τε τῆς ἄγρας ἄλλος παρ᾽ ἄλλου αὐτὸν πε[ριφέρω]ν. τοῦ δὲ Ἀπόλλωνος χρήσαντος εἰ[σεδέξαν]το τῇ πόλει καὶ [π]αραπλησίως τ[οῖς θεοῖς] ἐτίμων. Ἀ ργώ κοτ᾽ ἐμ π ν έ οντος ἤκαλον νότου Ἐπίνικος Πολυκλεῖ Αἰγινήτῃ νικήσαντι διαύλῳ Ἀμφορίτῃ ἐν τῇ πατρίδι.

198 col8 (21) τὸ δ᾽ ἀγώνισμα τοῦτο· πρὸς τῷ τέρματι τοῦ σταδίου κεῖται ἀμφορεὺς πλήρης ὕδατος, ἐφ᾽ ὃν δραμὼν κενὸς ὁ ἀγωνιζόμενος ἀναλαβὼν τὸν ἀμφορέα ἀνακάμπτει, προφθάσας δὲ νικᾷ. κατήχθησαν δὲ ἐντεῦθεν οἱ Ἀργοναῦται ἐπιβάντες τῆς Αἰγίνης, ἡμίλλησαν δὲ ἀλλήλοις ὑδρευόμενοι ὑπὲρ τοῦ θᾶττον· ὁ δ᾽ ἀγὼν Ὑδροφόρια καλεῖται. Ἑρμᾶ τί τοι τὸ νεῦρον ὦ Γενειόλα Φιλητάδου παιδὸς εὐπρεποῦς ἐραστὴς ἰδὼν Ἑρμοῦ ἄγαλμα ἐν παλαιστριδίῳ ἐντεταμένον, πυνθάνεται μὴ διὰ τὸν Φιλητάδαν.

199 col8 (38) ὁ δέ φησιν ἄνωθεν εἶναι Τυρσηνὸς καὶ κατὰ μυστικὸν λόγον ἐντετάσθαι, ἐπὶ κακῷ δὲ αὐτὸν φιλεῖν τὸν Φιλητάδαν Τὰς Ἀφροδίτας—ἡ θεὸς γὰρ οὐ μία— Ἐν Ἀσπένδῳ τῆς Παμφυλίας τῇ Καστνίῃ Ἀφροδίτῃ ὗς ἱερουργεῖται ἐντεῦθεν· Μόψος ἀρχηγὸς τῶν Παμφυλίων ἐπὶ θήραν ἐξιὼν εὔξατο αὐτῇ εὐβολήσας ὃ ἂν λάβοι πρῶτον καλλιερήσειν.

200 col9 καὶ δὴ θηράσας κάπρον ἐτέλεσε τὴν ἐπαγγελίαν. ἀφ᾽ οὗ καὶ Παμφύλιοι μέχρι νῦν τοῦτο ποιοῦσιν· εἰ μὴ γὰρ ἥδετο ἡ θεός, οὐκ ἂν ὁ Μόψος ἐκυνήγησεν τοῦτο. ἐπαινεῖ δὲ καὶ τὴν Ἐρετριέων Ἄρτεμιν, ὅτι πᾶν τὸ θυόμενον οὐκ ἀποσείεται. Ἀλλ᾽ οὐ τὸν Ὑψᾶν, ὃς τὸ σᾶμά μευ Διημαρτημένως λέγεται παροιμία ‘ἁρπαγὰ τὰ Κοννάρου‘· ‘Κοννίδα‘ γὰρ χρὴ λέγειν.

201 col9 (12) ἐντεῦθεν γὰρ παρῆλθεν· Κοννίδας μέτοικος ἐν Σελινοῦντι πλουτήσας ἐκ πορνοβοσκίας παρὰ μὲν τὸν ἄλλον χρόνον . εν ἐφήμιζεν, ὡς τὴν οὐσίαν τῇ τε Ἀφροδίτῃ καὶ τοῖς φίλοις διανεμεῖν. τελευτήσαντος δὲ αὐτοῦ ἡ διαθήκη εὑρέθη περιέχουσα ‘ἁρπαγὰ τὰ Κοννίδα‘· ὅθεν ὁ δῆμος ἐξελθὼν τοῦ θεάτρου ἥρπασεν τὰ Κοννίδα. Σελινοῦς δὲ πόλις Σικελίας. Ἄρτεμι Κρηταῖον Ἀμνίσου πέδον Τοῦτο γέγραπται εἰς ἕβδομα θυγατρίου γεννηθέντος Λέοντι γνωρίμῳ τοῦ ποιητοῦ, ἐν ᾧ φησιν διενεγκεῖν τῶν δεμυηθεντων τῇ Ἥβῃ ὑπὸ τῶν ἄλλων θεῶν τὸν ᾀσθέντα ὑπὸ τοῦ Ἀπόλλωνος ὕμνον.

203 col9 (32) Μοῦσαι καλαὶ κἄπολλον, οἷς ἐγὼ σπένδω· Ἐν τούτῳ πρὸς τοὺς καταμεμφομένους αὐτὸν ἐπὶ τῇ πολυειδείᾳ ὧν γράφει ποιημάτων ἀπαντῶν φησιν ὅτι Ἴωνα μιμεῖται τὸν τραγικόν· ἀλλ᾽ οὐδὲ τὸν τέκτονά τις μέμφεται πολυειδῆ σκεύη τεκταινόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org